δυσκόλων συμπιπτόντων, οὐχ ἡγούμην δεῖν κατοκνῆσαι δι' ὑμῶν πειρᾶσθαι τυγχάνειν τῶν δικαίων. Δέομαι οὖν ὑμῶν συγγνώμην ἔχειν, εἰ καὶ νεώτερος ὢν λέγειν ἐπὶ δικαστηρίου τετόλμηκα· διὰ γὰρ τοὺς ἀδικοῦντας ἀναγκάζομαι παρὰ τὸν ἐμαυτοῦ τρόπον τοιοῦτόν τι ποιεῖν. Πειράσομαι δ' ὑμῖν ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι διὰ βραχυτάτων εἰπεῖν περὶ τοῦ πράγματος.

---

## VI

(Cf. p. 218).

### 1 ΚΑΤΑ ΔΙΟΚΛΕΟΥΣ ΥΒΡΕΩΣ

Ο ἀδελφὸς ὁ ἐμὸς καὶ Κτήσων, οἰκεῖος ὢν ἡμῖν, συντυγχάνουσι τῷ Ἕρμωνι εἰς Βόθυνον ἀπιόντι.

### 2 ΠΡΟΣ ΔΙΟΚΛΕΑ ΠΕΡΙ ΧΩΡΙΟΥ

Ἀποφανῶ γὰρ ὑμῖν ὡς οὐκ ἔστι τῆς ἐπικλήρου τὸ χωρίον τοῦτο οὐδ' ἐγένετο πώποτε, ἀλλ' ὡς ἦν πατρῷον Λυσιμένει τῷ πατρὶ Μενεκράτους· ὁ δὲ Λυσιμένης ἔσχε τὰ πατρῷα πάντα.

---

## VII

### ΠΡΟΣ ΟΡΓΕΩΝΑΣ

1 (Harpocrat. *s. v.* παλίνσκιον).

Μήτε παλίνσκιον γίγνεσθαι τὸ χωρίον.